στρεφόμενα εὐθὺς ἐξ ἀρχῆς ἕκαστον ἐπικεκλωσμένην ἔχει τὴν ἀπόβασιν, καὶ οὐ θέμις ἄλλως γενέσθαι.

ΚΥΝΙΣΚΟΣ

Οὐκοῦν ὁπόταν ὁ αὐτὸς Ὅμηρος ἐν ἑτέρῳ μέρει τῆς ποιήσεως 2
λέγῃ,

μὴ καὶ ὑπὲρ μοῖραν δόμον Ἄϊδος

καὶ τὰ τοιαῦτα, ληρεῖν δηλαδὴ φήσομεν τότε αὐτόν;

ΖΕΥΣ

Καὶ μάλα· οὐδὲν γὰρ οὕτω γένοιτ᾿ ἂν ἔξω τοῦ νόμου τῶν Μοιρῶν, οὐδὲ ὑπὲρ τὸ λίνον. οἱ ποιηταὶ δὲ ὁπόσα μὲν ἂν ἐκ τῶν Μουσῶν κατεχόμενοι ᾄδωσιν, ἀληθῆ ταῦτά ἐστιν· ὁπόταν δὲ ἀφῶσιν αὐτοὺς αἱ θεαὶ καὶ καθ᾿ αὑτοὺς ποιῶσι, τότε δὴ καὶ σφάλλονται καὶ ὑπεναντία τοῖς πρότερον διεξίασι· καὶ συγγνώμη, εἰ ἄνθρωποι ὄντες ἀγνοοῦσι τἀληθές, ἀπελθόντος ἐκείνου ὃ τέως παρὸν ἐρραψῴδει δι᾿ αὐτῶν.

ΚΥΝΙΣΚΟΣ

Ἀλλὰ τοῦτο μὲν οὕτω φήσομεν. ἔτι δὲ κἀκεῖνό μοι ἀπόκριναι· οὐ τρεῖς αἱ Μοῖραί εἰσι, Κλωθὼ καὶ Λάχεσις, οἶμαι, καὶ Ἄτροπος;

ΖΕΥΣ

Πάνυ μὲν οὖν.

ΚΥΝΙΣΚΟΣ

Ἡ Εἱμαρμένη τοίνυν καὶ ἡ Τύχη—πολυθρύλητοι γὰρ πάνυ καὶ 3
αὗται—τίνες ποτ᾿ εἰσὶν ἢ τί δύναται αὐτῶν ἑκατέρα; πότερον τὰ ἴσα ταῖς Μοίραις ἤ τι καὶ ὑπὲρ ἐκείνας; ἀκούω γοῦν ἁπάντων λεγόντων μηδὲν εἶναι Τύχης καὶ Εἱμαρμένης δυνατώτερον.

ΖΕΥΣ

Οὐ θέμις ἅπαντά σε εἰδέναι, ὦ Κυνίσκε· τίνος δ᾿ οὖν ἕνεκα ἠρώτησας τὸ περὶ τῶν Μοιρῶν;